## ἌΛΛΟ.

Φεῦγε βροτὸν δολόεντα κινώπετον ἠΰτε λυγρὸν·
δάγματι κείνο δαμᾷ, κερδοσύνῃφι δ᾽ ὄγε.

## ἌΛΛΟ.

Οὐδὲν ἐν ἡμερίοις ὀλοώτερον, ἢ δολιόφρων
ἡδέα μὲν λαλέων, αἰνὰ δὲ νῷ φρονέων.
ὅς φρεσὶ κερδαλέῃσιν ἀεὶ κακὰ βυσσοδομεύων
σίνεται ὓς πεπίθοι κλεψινόοισι λόγοις.

## ἌΛΛΟ.

Ἔρρετ᾽ ἀπόπροθί μευ πανεπίκλοποι ἠπεροπῆες,
ἔρρετε· κερδοσυνην ὀ φέρω ὑμετέρην.
δὴ γὰρ ἅλις δεδάηκα κακορραφίας τε δόλους τε
ῥάπτεθ᾽ ἅ γ᾽ αἱμυλίῃς· οὐδ᾽ ἔτι τῶνδ᾽ ἀλέγω.

## ΕἸΣ ΤΙΝΑ ΞΈΝΟΝ ἈΛΉΤΗΝ.

Τίς, ἢ πόθεν, τίνος θ᾽ ὅδ᾽ ἐστιν ὁ ξένος,
οὐδεὶς σάφ᾽ οἶδεν· Οὔτινος καὶ γὰρ πέλει
σαφῶς ὀπαδὸς, ὡς πολύτλας τὸν βίον,
πολύτροπός τε καὶ πολύπλαγκτος πάνυ,
εὔγλωττος, ἔμφρων θ᾽· οὔτινος θ᾽ ἔξει κλέος.

## ΕἸΣ ΤῸΝ ΑΥ̓ΤῸΝ.

Δαιμόνιε ξείνων πόθεν ὧδ᾽ αὔτ᾽ οἶος ἐὼν περ;
τίς χρεώ; ἠέ τί που διζήμενος ἐνθάδ᾽ ἱκάνεις